eul_wid: aly-aa

*Μίμνερμος ὁ Κολοφώνιος* · Mimnermus of Colophon

# On Youth and Old Age

*Ἀποσπάσματα*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1.1 τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ

book 1.2 χρυσῆς Ἀφροδίτης; [para]τεθναίην, ὅτε μοι μηκέτι

book 1.3 ταῦτα μέλοι, κρυπταδίη

book 1.4 φιλότης καὶ μείλιχα δῶρα καὶ εὐνή, [para]οἷ᾽ ἥβης ἄνθεα γίνεται ἁρπαλέα[ln_5]ἀνδράσιν ἠδὲ γυναιξίν· ἐπεὶ δ᾽ ὀδυνηρὸν ἐπέλθηι [para]γῆρας, ὅ τ᾽ αἰσχρὸν ὁμῶς καὶ κακὸν ἄνδρα

book 1.5 τιθεῖ, αἰεί μιν

book 1.6 φρένας ἀμφὶ κακαὶ τείρουσι μέριμναι, [para]οὐδ᾽ αὐγὰς

book 1.7 προσορῶν τέρπεται ἠελίου, ἀλλ᾽ ἐχθρὸς μὲν

book 1.8 παισίν, ἀτίμαστος δὲ γυναιξίν·

book 1 [ln_10]οὕτως ἀργαλέον γῆρας ἔθηκε θεός.

book 2.1 ἡμεῖς δ᾽, οἷά τε φύλλα φύει

book 2.2 πολυάνθεμος ὥρη [para]ἔαρος, ὅτ᾽ αἶψ᾽ αὐγῆις αὔξεται ἠελίου, τοῖς ἴκελοι πήχυιον ἐπὶ χρόνον ἄνθεσιν ἥβης [para]τερπόμεθα, πρὸς θεῶν εἰδότες οὔτε κακὸν[ln_5]οὔτ᾽ ἀγαθόν· Κῆρες δὲ παρεστήκασι μέλαιναι, [para]ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου, ἡ δ᾽ ἑτέρη θανάτοιο· μίνυνθα δὲ γίνεται ἥβης [para]καρπός, ὅσον τ᾽ ἐπὶ γῆν κίδναται ἠέλιος. αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος

book 2.3 παραμείψεται ὥρης,[ln_10]αὐτίκα δὴ τεθνάναι βέλτιον ἢ βίοτος· πολλὰ γὰρ ἐν θυμῶι κακὰ γίνεται· ἄλλοτε οἶκος [para]τρυχοῦται, πενίης δ᾽ ἔργ᾽ ὀδυνηρὰ πέλει· ἄλλος δ᾽ αὖ παίδων ἐπιδεύεται, ὧν

book 2.4 τε μάλιστα [para]ἱμείρων κατὰ γῆς ἔρχεται εἰς Ἀΐδην·

book 2 [ln_15]ἄλλος νοῦσον ἔχει θυμοφθόρον· οὐδέ τίς ἐστιν [para]ἀνθρώπων ὧι Ζεὺς μὴ κακὰ πολλὰ διδοῖ.

book 3.1 τὸ πρὶν ἐὼν κάλλιστος, ἐπὴν

book 3.2 παραμείψεται ὥρη, [para]οὐδὲ πατὴρ

book 3.3 παισὶν τίμιος οὔτε φίλος.

book 4 Τιθωνῶι μὲν ἔδωκεν ἔχειν κακὸν ἄφθιτον 〈 〉 [para]γῆρας, ὃ καὶ θανάτου ῥίγιον ἀργαλέου.

book 5.1 αὐτίκα μοι κατὰ μὲν

book 5.2 χροιὴν ῥέει ἄσπετος ἱδρώς, [para]πτοιῶμαι δ’ ἐσορῶν ἄνθος ὁμηλικίης

book 5.3 τερπνὸν ὁμῶς καὶ καλόν· ἐπὶ πλέον ὤφελεν εἶναι· [para]ἀλλ’ ὀλιγοχρόνιον γίνεται ὥσπερ ὄναρ[ln_5]ἥβη

book 5.4 τιμήεσσα· τὸ δ’ ἀργαλέον καὶ ἄμορφον [para]γῆρας ὑπὲρ κεφαλῆς αὐτίχ’ ὑπερκρέμαται, ἐχθρὸν ὁμῶς καὶ ἄτιμον, ὅ τ’ ἄγνωστον

book 5.5 τιθεῖ ἄνδρα, [para]βλάπτει δ’ ὀφθαλμοὺς καὶ νόον ἀμφιχυθέν.

book 6.1 αἲ γὰρ ἄτερ νούσων

book 6.2 τε καὶ ἀργαλέων μελεδωνέων ἑξηκονταέτη μοῖρα κίχοι θανάτου,

book 7.1 σὴν αὐτοῦ φρένα τέρπε· δυσηλεγέων δὲ πολιτέων [para]ἄλλός τίς

book 7.2 σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

book 8.1 ἀληθείη δὲ παρέστω

book 8.2 σοὶ καὶ ἐμοί, πάντων

book 8.3 χρῆμα δικαιότατον.

book 9.1 Αἰπὺ 〈 〉 τε Πύλον Νηλήϊον ἄστυ λιπόντες [para]ἱμερτὴν Ἀσίην νηυσὶν ἀφικόμεθα, ἐς δ’ ἐρατὴν Κολοφῶνα βίην ὑπέροπλον ἔχοντες [para]ἑζόμεθ’, ἀργαλέης ὕβριος ἡγεμόνες·[ln_5]κεῖθεν διαστήεντος ἀπορνύμενοι

book 9.2 ποταμοῖο θεῶν βουλῆι

book 9.3 Σμύρνην εἵλομεν Αἰολίδα.

book 11.1 οὐδέ κοτ’ ἂν μέγα κῶας ἀνήγαγεν αὐτὸς Ἰήσων [para]ἐξ Αἴης

book 11.2 τελέσας ἀλγινόεσσαν ὁδόν, ὑβριστῆι

book 11.3 Πελίηι

book 11.4 τελέων

book 11.5 χαλεπῆρες ἄεθλον, [para]οὐδ’ ἂν ἐπ’ Ὠκεανοῦ καλὸν ἵκοντο ῥόον.

book 11a.1 Αἰήταο πόλιν, τόθι τ’ ὠκέος Ἠελίοιο [para]ἀκτῖνες

book 11a.2 χρυσέωι κείαται ἐν θαλάμωι Ὠκεανοῦ παρὰ χεῖλος, ἵν’ ᾤχετο θεῖος Ἰήσων.

book 12.1 Ἠέλιος μὲν γὰρ ἔλαχεν πόνον ἤματα πάντα, [para]οὐδέ ποτ’ ἄμπαυσις γίνεται οὐδεμία ἵπποισίν

book 12.2 τε καὶ αὐτῶι, ἐπεὶ ῥοδοδάκτυλος Ἠὼς [para]Ὠκεανὸν

book 12.3 προλιποῦσ’ οὐρανὸν εἰσαναβῆι.[ln_5]τὸν μὲν γὰρ διὰ κῦμα φέρει

book 12.4 πολυήρατος εὐνή, [para]ποικίλη, Ἡφαίστου

book 12.5 χερσὶν ἐληλαμένη, χρυσοῦ τιμήεντος, ὑπόπτερος, ἄκρον ἐφ’ ὕδωρ [para]εὕδονθ’ ἁρπαλέως χώρου ἀφ’ Ἑσπερίδων γαῖαν ἐς Αἰθιόπων, ἵνα δὴ θοὸν ἅρμα καὶ ἵπποι[ln_10]ἑστᾶσ’, ὄφρ’ Ἠὼς ἠριγένεια μόληι· ἔνθ’ ἐπέβη ἑτέρων ὀχέων Ὑπερίονος υἱός.

book 13a.1 ὣς οἳ πὰρ βασιλῆος, ἐπε[ί ῥ’] ἐ[ν]εδέξατο μῦθον, [para]ἤ[ϊξ]αν κοίλη[ς ἀ]σπίσι

book 13a.2 φραξάμενοι.

book 14.1 οὐ μὲν δὴ κείνου γε μένος καὶ ἀγήνορα θυμὸν [para]τοῖον ἐμέο προτέρων

book 14.2 πεύθομαι, οἵ μιν ἴδον Λυδῶν ἱππομάχων

book 14.3 πυκινὰς κλονέοντα φάλαγγας [para]Ἕρμιον ἂμ

book 14.4 πεδίον, φῶτα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 14.5 φερεμμελίην·[ln_5]τοῦ μὲν ἄρ’ οὔ ποτε πάμπαν ἐμέμψατο

book 14.6 Παλλὰς Ἀθήνη [para]δριμὺ μένος κραδίης, εὖθ’ ὅ γ’ ἀνὰ προμάχους

book 14.7 σεύαιθ’ αἱματόεν 〈τος ἐν〉 ὑσμίνηι

book 14.8 πολέμοιο, [para]πικρὰ βιαζόμενος δυσμενέων βέλεα· οὐ γάρ

book 14.9 τις κείνου δηίων ἔτ’ ἀμεινότερος φὼς[ln_10]ἔσκεν ἐποίχεσθαι

book 14.10 φυλόπιδος κρατερῆς ἔργον, ὅτ’ αὐγῆισιν φέρετ’ ὠκέος ἠελίοιο

book 15.1 καί μιν ἐπ’ ἀνθρώπους βάξις ἔχει

book 15.2 χαλεπή.

book 16 ἀργαλέης αἰεὶ βάξιος ἱέμενοι.

book 17.1 Παίονας ἄνδρας ἄγων, ἵνα

book 17.2 τε κλειτὸν γένος ἵππων.

book 22.1 Τροιζηνίας δὲ τραῦμα

book 22.2 φοιτάδος

book 22.3 πλάνης ἔσται κακῶν

book 22.4 τε πημάτων

book 22.5 παραίτιον, ὅταν θρασεῖα θουρὰς οἰστρήσῃ κύων

book 22.6 πρὸς λέκτρα· τύμβος δ’ αὐτὸν ἐκσώσει μόρου[ln_5]Ὁπλοσμίας, σφαγαῖσιν ηὐτρεπισμένον. κολοσσοβάμων δ’ ἐν

book 22.7 πτυχαῖσιν Αὐσόνων κτλ.

book 24 οἷα δὴ φιλοῦσιν {οἱ} ἰατροὶ λέγειν τὰ φαῦλα μείζω καὶ τὰ δείν’ ὑπὲρ φόβον, πυργοῦντες αὑτούς.

book 25.1 δεινοὶ γὰρ ἀνδρὶ πάντες ἐσμὲν εὐκλεεῖ ζῶντι

book 25.2 φθονῆσαι, κατθανόντα δ’ αἰνέσαι.

book 26 ὦ Ζεῦ πολυτίμητ’, ὡς καλαὶ νῷν αἱ γυναῖ

Eulogikon public reading copy · View original HTML at eulogikon.org